ſitum quidem ſphærarum eundem Eudoxo ponebat, hoc eſt diſtãtiarum ordinem: pluralitatem etiam ſtellæ quidem Iouis, ac Saturni, eandem illi attribuebat. Soli verò, & Lunæ duas adhuc putabat ſphæras addendas eſſe, ſi quis eorum, quæ ſenſibiliter apparent, cauſas aſſignare debeat, Cæteris verò errantium, vnicuique vnam. Neceſſe verò eſſe, ſi debent omnes ſimul poſitæ, quæ apparent, reddere, ſecundum vnamquanque errantium alteras ſphæras, vna pauciores eſſe, quæ reuoluant, & ad idem poſitione, ſemper primam eius aſtri ſphæram, quod inferius ordinatũ eſt, conſtituant: hoc.n.modo ſolum cõtingit errantium lationem omnia facere. Cùm igitur in quibus ipſa quidẽ feruntur ſphęris, hæ quidem octo, hæ verò vigintiquinque ſint, harum ſanè illas ſolas non oportet reuolui, in quibus fertur, quod infimè ordinatum eſt: quæ quidem duarum primarum ſphæras reuoluunt, ſex erunt: quæ verò poſteriorum quatuor, ſedecim: cunctarum verò numerus, tum earum, quę ferunt, tum quæ reuoluunt eas, quinquagintaquinque. Quòd ſi Lunæ & Soli non addat aliquis, quos diximus, motus, omnes ſphæræ erunt ſeptem & quadraginta. Pluralitas itaque ſphærarum tanta ſit. Quare ſubſtantias quoque & principia tum immobilia, tum ſenſibilia, tot rationabiliter arbitrandum eſt eſſe: quod enim neceſſarium eſt, relinquatur potentioribus dicẽdum. Quod ſi nullam lationem poſſibile eſt eſſe, quæ non ordinetur ad lationem ſtellæ, omnem item naturam, omnémque ſubſtantiam impaſſibilem, & per ſe, arbitrari oportet optimum ſortitam finem eſſe, nulla profectò præter has, alia natura erit, ſed hunc neceſſe eſt numerum ſubſtantiarum eſſe. Si etenim aliæ ſunt, vtique mouebunt, cùm lationis finis ſint. Sed eſſe alias lationes præter dictas, impoſſibile eſt: hoc autem ex iis, quæ feruntur, rationabile eſt accipere. Si enim omne, quod fert, eius gratia, quod fertur, ſuapte natura eſt, omniſque latio alicuius, quod fertur, eſt, nulla latio ſui gratia erit profectò, nec alterius lationis, verùm ſtellarum cauſa. Si nanque latio lationis cauſa erit, illam quoque oportebit aliarum gratia eſſe. Quare cùm non ſit proceſſus in infinitũ, finis omnis lationis erit diuinorum corporum aliquod, quæ in cælo feruntur. Quòd autem cęlum ſit vnum, manifeſtum eſt: ſi enim plures eſſent cæli, vt homines,

A δὲ τὴν μὲν θέσιν τῶν σφαιρῶν, τὴν αὐτὴν ἐτίθετο Εὐδόξῳ, τουτέστι τῶν ἀποστημάτων τὴν τάξιν· τὸ δὲ πλῆθος, τῷ μὲν τοῦ Διὸς καὶ τὸ τοῦ Κρόνου, τὸ αὐτὸ ἐκείνῳ ἀπεδίδου· τῷ δὲ ἡλίου καὶ τῷ σελήνης δύο ᾤετο ἔτι προσθετέας εἶναι σφαίρας, τὰ φαινόμενα εἰ μέλλει τις ἀποδώσειν· τοῖς δὲ λοιποῖς τῶν πλανητῶν, ἑκάστῳ μίαν. ἀναγκαῖον δὲ, εἰ μέλλουσι συντεθεῖσαι πᾶσαι, τὰ φαινόμενα ἀποδώσειν,
B καθ᾽ ἕκαστον τῶν πλανωμένων, ἑτέρας σφαίρας μιᾷ ἐλάττονας εἶναι τὰς ἀνελιττούσας, καὶ εἰς τὸ αὐτὸ ἀποκαθιστώσας τῇ θέσει τὴν πρώτην σφαῖραν, ἀεὶ τοῦ ὑποκάτω τεταγμένου ἄστρου. οὕτω γὰρ μόνως ἐνδέχεται τὴν τῶν πλανητῶν φορὰν ἅπαντα ποιεῖσθαι. ἐπεὶ οὖν ἐν αἷς μὲν αὐτὰ φέρεται σφαίραις, αἱ μὲν ὀκτώ, αἱ δὲ πέντε καὶ εἴκοσίν εἰσιν. τούτων δὲ μόνας
C οὐ δεῖ ἀνελιχθῆναι, ἐν αἷς τὸ κατωτάτω τεταγμένον φέρεται, αἱ μὲν τὰς τῶν δύο πρώτων ἀνελίττουσαι, ἓξ ἔσονται· αἱ δὲ τὰς τῶν ὕστερον τεττάρων, ἑκκαίδεκα· ὁ δὲ ἁπασῶν ἀριθμός, τῶν τε φερουσῶν καὶ τῶν ἀνελιττουσῶν ταύτας, πεντήκοντά τε καὶ πέντε. εἰ δὲ τῆς σελήνης καὶ τῷ ἡλίῳ μὴ προσθείη τις ἃς εἴπομεν κινήσεις, αἱ πᾶσαι σφαῖραι ἔσονται ἑπτά τε καὶ τεσσεράκοντα. τὸ μὲν οὖν πλῆ-
D θος τῶν σφαιρῶν ἔστω τοσοῦτον· ὥστε καὶ τὰς οὐσίας καὶ τὰς ἀρχὰς τὰς ἀκινήτους καὶ τὰς αἰσθητὰς, τοσαύτας εὔλογον ὑπολαβεῖν. τὸ γὰρ ἀναγκαῖον, ἀφείσθω τοῖς ἰσχυροτέροις λέγειν. εἰ δὲ μηδεμίαν οἷόν τε εἶναι φορὰν συντείνουσαν πρὸς ἄστρου φοράν· ἔτι δὲ πᾶσαν φύσιν καὶ πᾶσαν οὐσίαν ἀπαθῆ, καὶ καθ᾽ αὑτὴν, τοῦ ἀρίστου τετυχηκυῖαν τέλος εἶναι δεῖ
E νομίζειν, οὐδεμία ἂν εἴη παρὰ ταύτας ἑτέρα φύσις, ἀλλὰ τοῦτον ἀνάγκη τὸν ἀριθμὸν εἶναι τῶν οὐσιῶν. εἴτε γάρ εἰσιν ἕτεραι, κινοῖεν ἂν ὡς τέλος οὖσαι φορᾶς. ἀλλ᾽ εἶναί γε ἄλλας φορὰς ἀδύνατον παρὰ τὰς εἰρημένας. τοῦτο δὲ εὔλογον ἐκ τῶν φερομένων ὑπολαβεῖν. εἰ γὰρ πᾶν τὸ φέρον τοῦ φερομένου χάριν πέφυκε, καὶ φορὰ πᾶσα φερομένου τινός ἐστιν, οὐδεμία φορὰ αὑτῆς ἂν εἴη ἕνεκα, οὐδ᾽ ἄλλης φο-
F ρᾶς, ἀλλὰ τῶν ἄστρων ἕνεκα. εἰ γὰρ εἶναι ἔσται φορὰ φορᾶς ἕνεκα, καὶ ἐκείνην ἑτέρου δεήσει χάριν εἶναι. ὥστε ἐπειδὴ οὐχ οἷόν τε ἰέναι εἰς ἄπειρον, τέλος ἔσται πάσης φορᾶς τῶν φερομένων τι θείων σωμάτων κατὰ τὸν οὐρανόν. ὅτι δὲ εἷς οὐρανός, φανερόν. εἰ γὰρ πλείους οἱ οὐρανοὶ ὥσπερ οἱ ἄνθρωποι,

ἔσται